Storia della Lingua Greca – Laurea Magistrale – 8.10.2013

Schiave ed etere: il caso-Rodopi

Sapph. fr. 5 V.

Κύπρι καὶ] Νηρήιδες ἀβλάβη[ν μοι
τὸν κασί]γνητον δ[ό]τε τυίδ᾽ ἴκεσθα[ι
κῶσσα ϝ]ο̣ι θύμωι κε θέληι γένεσθαι
πάντα τε]λέσθην,
ὄσσα δὲ πρ]όσθ᾽ ἄμβροτε πάντα λῦσα[ι 5
καὶ φίλοισ]ι ϝοῖσι χάραν γένεσθαι
····· ἔ]χθροισι, γένοιτο δ᾽ ἄμμι
·····μ]ηδ᾽ εἴς·
τὰν κασιγ]νήταν δὲ θέλοι πόησθα̣ι
[ ]τίμας, [ὀν]ίαν δὲ λύγραν 10
[ ]οτοισι π[ά]ροιθ᾽ ἀχεύων
[ ]·να
[ ]·εισαΐω[ν] τὸ κέγχρω
[ ]λεπαγ[··(1´)1]αι πολίταν
[ ]λλω̣σ[···]νηκε δ᾽ αὖτ᾽ οὐ 15
[ ]κρω[ ]
[ ]οναικ[ ]εο[ ]·ι
[ ]··[·]ν· σὺ [δ]ὲ Κύπ̣[··]··[··(1·)1]να
[ ]θεμ[έν]α κάκαν [
[ ]ι. 20

Sapph. fr. 15 V.

a

. . .
[ ]οσθ᾽[
[ ]αταισ̣[
[]·ύχαι λι·[
[ ]·[5
. . .

b

. . .
[ ]α̣μάκα̣ι[
[ ]ευπλο· [
[ ]·ατοσκα[
[ ] 5
[ ]βροτεκη[
[ ]νεμ[
[ ]ενοσκλ[
[ ]
Κύ]πρι κα[ί σ]ε πι[κροτ´·]α̣ν ἐπεύρ[οι 10
μη]δὲ καυχάσ[α]ιτο τόδ᾽ ἐννέ[ποισα
Δ]ω̣ρίχα τὸ δεύ[τ]ερον ὡς πόθε[ννον
εἰς] ἔρον ἦλθε.

Sapph. test. 254a V. (= Hdt. II 134s.)

Ῥοδῶπις, γενεὴν μὲν ἀπὸ Θρηίκης, δούλη δὲ ἦν Ἰάδμονος τοῦ Ἡφαιστοπόλιος ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ [...]. Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο Ξάνθεω τοῦ Σαμίου κομίσαντός [μιν], ἀπικομένη δὲ κατ᾽ ἐργασίην ἐλύθη χρημάτων μεγάλων ὑπὸ ἀνδρὸς Μυτιληναίου Χαράξου τοῦ Σκαμανδρωνύμου παιδός, ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσο-ποιοῦ. οὕτω δὴ ἡ Ῥοδῶπις ἐλευθερώθη καὶ κατέμεινέ τε ἐν Αἰγύπτῳ καὶ κάρτα ἐπαφρόδιτος γενομένη μεγάλα ἐκτήσατο χρήματα ὡς ἅλις εἶναι Ῥοδώπι.